ώπου σου αὐτὸς ἐξολεθρεύσει τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου σου,
καὶ κατακληρονομήσεις αὐτούς· καὶ Ἰησοῦς ὁ προπορευόμενος
4 πρὸ προσώπου σου, καθὰ ἐλάλησεν κύριος. [4]καὶ ποιήσει κύριος
αὐτοῖς καθὰ ἐποίησεν Σηων καὶ Ωγ, τοῖς δυσὶ βασιλεῦσιν τῶν
Αμορραίων, οἳ ἦσαν πέραν τοῦ Ιορδάνου, καὶ τῇ γῇ αὐτῶν, καθ-
5 ότι ἐξωλέθρευσεν αὐτούς. [5]καὶ παρέδωκεν αὐτοὺς κύριος ὑμῖν,
6 καὶ ποιήσετε αὐτοῖς καθότι ἐνετειλάμην ὑμῖν. [6]ἀνδρίζου καὶ ἴσχυε,
μὴ φοβοῦ μηδὲ δειλία μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι
κύριος ὁ θεός σου ὁ προπορευόμενος μεθ᾽ ὑμῶν ἐν ὑμῖν οὐ μή
σε ἀνῇ οὔτε μή σε ἐγκαταλίπῃ.
7 [7]Καὶ ἐκάλεσεν Μωυσῆς Ἰησοῦν καὶ εἶπεν αὐτῷ ἔναντι παντὸς
Ισραηλ Ἀνδρίζου καὶ ἴσχυε· σὺ γὰρ εἰσελεύσῃ πρὸ προσώπου
τοῦ λαοῦ τούτου εἰς τὴν γῆν, ἣν ὤμοσεν κύριος τοῖς πατράσιν
ἡμῶν δοῦναι αὐτοῖς, καὶ σὺ κατακληρονομήσεις αὐτὴν αὐτοῖς·
8 [8]καὶ κύριος ὁ συμπορευόμενος μετὰ σοῦ οὐκ ἀνήσει σε οὐδὲ μή
ἐγκαταλίπῃ σε· μὴ φοβοῦ μηδὲ δειλία.
9 [9]Καὶ ἔγραψεν Μωυσῆς τὰ ῥήματα τοῦ νόμου τούτου εἰς βιβλίον
καὶ ἔδωκεν τοῖς ἱερεῦσιν τοῖς υἱοῖς Λευι τοῖς αἴρουσιν τὴν κιβω-
τὸν τῆς διαθήκης κυρίου καὶ τοῖς πρεσβυτέροις τῶν υἱῶν Ισραηλ.
10 [10]καὶ ἐνετείλατο αὐτοῖς Μωυσῆς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων Μετὰ
11 ἑπτὰ ἔτη ἐν καιρῷ ἐνιαυτοῦ ἀφέσεως ἐν ἑορτῇ σκηνοπηγίας [11]ἐν
τῷ συμπορεύεσθαι πάντα Ισραηλ ὀφθῆναι ἐνώπιον κυρίου τοῦ
θεοῦ σου ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται κύριος, ἀναγνώσεσθε τὸν
12 νόμον τοῦτον ἐναντίον παντὸς Ισραηλ εἰς τὰ ὦτα αὐτῶν· [12]ἐκ-
κλησιάσας τὸν λαόν, τοὺς ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ ἔκγονα
καὶ τὸν προσήλυτον τὸν ἐν ταῖς πόλεσιν ὑμῶν, ἵνα ἀκούσωσιν
καὶ ἵνα μάθωσιν φοβεῖσθαι κύριον τὸν θεὸν ὑμῶν, καὶ ἀκούσονται
13 ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τούτου· [13]καὶ οἱ υἱοὶ αὐτῶν,
οἳ οὐκ οἴδασιν, ἀκούσονται καὶ μαθήσονται φοβεῖσθαι κύριον τὸν
θεὸν ὑμῶν πάσας τὰς ἡμέρας, ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, εἰς
ἣν ὑμεῖς διαβαίνετε τὸν Ιορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν.
14 [14]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἠγγίκασιν αἱ ἡμέραι τοῦ
θανάτου σου· κάλεσον Ἰησοῦν καὶ στῆτε παρὰ τὰς θύρας τῆς
σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐντελοῦμαι αὐτῷ. καὶ ἐπορεύθη Μωυ-

3 αυτος] ουτος B† || 4 κυριος] + ο θεος σου B† | κυριος αυτοις] tr. A† | καθα] καθως A | τοις > A || 5 υμιν $1^0$] ενωπιον υμων A | υμιν $1^0 \frown 2^0$ B*† || 6 δειλια (cf. 8)] -λιασης B† | ο προπορ.] pr. ουτος A | εν υμιν > A | ου] ουτε B† | ουτε] ουδ ου A || 7 ημων] αυτων A | αυτην > B || 8 συμπορ.] συνπροπορ. A†, + σοι A | ουδε] ουδ ου A || 9 τα] pr. παντα A | τοις υ. λευι > B† | των B A†] > rel. || 10 αυτοις μωυσης] tr. A || 11 σου] υμων B† | ω] ον A† | κυριος] + ο θεος σου $A^c$ || 12 εκκλησιασατε A | προσηλυτον] + σου A | υμων $1^0$] σου A || 13 υμων] σου B† | κληρονομειν B†: cf. 23 21 || 14 μαρτυριου $1^0 \frown$ 15 μαρτυριου B*(uid.)†